# TEZAUR LITURGIC

## 1 MAI

# PARACLISUL
# SF.CUVIOS-MUCENIC
# ACACHIE
# ATHONITUL
# DE LA
# CONSTANTINOPOL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 1 ΜΑΙΟΥ
# ΑΚΑΚΙΟΥ ΝΕΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΑΣΒΕΣΤΟΧΩΡΙΤΟΥ
# ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τοῦ Ἀκακίου τὴν εἰκόνα προθύμως, περικυκλοῦντες ἀδελφοὶ ἐκ καρδίας, ἐν παῤῥησίᾳ κράξομεν πρὸς φίλον ἀσφαλῆ· Ὅσιε Ἀκάκιε, τῆς πατρίδος σου φύλαξ, σπεῦσον τὴν νεότητα, ἀπὸ πάσης ἀνάγκης, καὶ ἐπηρείας λύτρωσον ἐχθρᾶς, ἵνα τιμῶμεν, τὸ θεῖόν σου ὄνομα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα ὁ Κανών.

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ἀκάκιε Μάρτυς νῦν τῷ Χριστῷ, ὡς φίλος ἐκείνου, παριστάμενος ἐκτενεῖς, δεήσεις προσάγαγε καὶ σπεῦσον, τοῦ βοηθῆσαι τοὺς φίλους σου ὅσιε.

Ἀκάκιε κλέος θαυμαστικόν, Ἀσβεστοχωρίου, τὰς ἀσβέστους νῦν μηχανάς, παθῶν καὶ δαιμόνων καταλύων, ταχέως πάτερ σοὺς δούλους εἰρήνευσον.

Ἀκάκιε δώρησαι τοῖς πιστοῖς, λύσιν αἰτημάτων, καὶ πταισμάτων ἀπαλλαγήν, ναῷ σου προστρέχομεν γὰρ πόθῳ, καὶ μεγαλύνομεν θεῖόν σου ὄνομα.

*Θεοτοκίον.*

Παρθένε ὡς ἔλαβες παρὰ Σοί, τὸ σκῆνος ἐκείνου, οὕτω δέχου καὶ τὰς λιτάς, ἡμῶν τῶν κυκλούντων τὴν εἰκόνα, καὶ Ἀκακίου ναὸν τὸν φερώνυμον.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἀκακίᾳ παμμάκαρ ὁμωνυμῶν ἄριστα, πρόφθασον καὶ πάσης κακίας, νῦν ἐλευθέρωσον, τοὺς προσιόντας σοι, καὶ κατανύξει καρδίας, ἐπικαλουμένους σε, Πάτερ Ἀκάκιε.

Ἀκακίᾳ συζήσας δεκαοκτὼ ἔτεσιν, καίτοι ἐν ἀρνήσει ἐννέᾳ χρόνοις διέμεινας, ὅμως ἀπέσβεσας, κρουνοῖς αἱμάτων τὴν πτῶσιν· ὅθεν καὶ ἀεπίληφας, Μάρτυρος στέφανον.

Ἀκακίαν ποθοῦντα τὸν σὸν λαὸν φίλτατε, πρέσβευε Χριστῷ στεντορίᾳ, φωνῇ Ἀκάκιε, ἵνα κερδήσομεν, τῆς ἀκακίας τὸν πλοῦτον, καὶ πταισμάτων ἄφεσιν, σὲ μεγαλύνοντες.

*Θεοτοκίον.*

Παναγία Παρθένε ἡ τὸν Χριστὸν τέξασα, τοῦτον ὡς ἀμνὸν ἀπειρόκακον πῶς ἐγέννησας, καὶ ἐν σταυρῷ

γοερῶς, εἰπὲ πῶς ἔκλαιες ὅμως, ἀναστάντα χαίρουσα, πρώτη πῶς ἔβλεψας.

Διάσωσον, ἐπιβουλῆς ἐναντίας θεόφρον καὶ κακίας πονηρᾶς τῶν δαιμόνων, Ἀκάκιε τοὺς σὲ πόθῳ ὑμνοῦντας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Πρεσβείαν θερμὴν καὶ τεῖχος θεοδώρητον, τῆς κώμης ἡμῶν προβαλλομέν σε Ὅσιε, ἐκτενῶς κραυγάζοντες· Ἀθλοφόρε πρόφθασον, καὶ ἐκ παγίδων σῶζε τοῦ ἐχθροῦ, τοὺς σὲ ἐν πίστει τιμῶντας Ἀκάκιε.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἀκακίου τὰ λείψανα, πόθῳ προσκυνοῦντες ἀπαρυόμεθα, νοσημάτων τὴν ἐπούλωσιν, καὶ παθῶν ἀδήλων ἐξαφάνισον.

Ἀκακίου τοῦ Μάρτυρος, σπεύσωμεν εἰκόνα νῦν κατοπτεύοντες, τῷ προσώπῳ γὰρ προσβλέποντες, ὡραιότητα καρδίας ἀποκτήσωμεν.

Ἀκακίου παθήματα, βλέποντες τὰ τέκνα μὴ ἐξοργίζωμεν, τοῦ σατὰν γὰρ πονηρότατα, σπεύδει καὶ καλεῖ αὐτὰ εἰς ἀπομάκρυνσιν.

*Θεοτοκίον.*

Θεονύμφευτε Ἄνασσα, Μήτηρ τὴν νεότητα περιφύλαττε, τοὺς γονεῖς δὲ καθοδήγησον, ἵνα δίδωσι τοῖς τέκνοις τὰ σωτήρια.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Πάντα τὰ δεινά, κατατρύχουσιν Ἀκάκιε, τὴν νεότητα καὶ ἕλκουσι σφοδρῶς, πρὸς ἀπογνώσεως ὁδοὺς καὶ καταπτώσεως.

Ῥῦε παντελῶς, τὴν νεότητα Ἀκάκιε, διαλύων τὰς σειρὰς τοῦ πονηροῦ, δι᾽ ὧν καταθέλγει, εἰς παθῶν αἰσχρότητα μακάριε.

Φεύγει τροπωθείς, ὁ ἀντίπαλος Ἀκάκιε, μαρτυρίου γὰρ ἐν αἵματι πνιγείς, τρέμει καὶ φοβεῖται, Μάρτυρος δεήσεις.

*Θεοτοκίον.*

Ῥῦσαί με ἁγνή, ἐκ βελῶν τοῦ πολεμήτορος, καὶ παθῶν δειναῖς ἐπιβουλαῖς, τέτρωμαι Παρθένε, καὶ φόβῳ Σοι κραυγάζω.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἀκάκιε, προσφωνῶ σε γνησίως, καὶ προβάλλομαι μεσίτην Κυρίῳ, ὅτι κακῶν, ἀκρασίας ἐπλήσθην, καὶ καταγώγιον ἄσωτον γέγονα, παθῶν ὁρμῶν καὶ ἡδονῶν, κινδυνεύων εἰς τέλειον θάνατον.

Ἀκάκιε, ὡς ἡ ἄσβεστος πέτρα, ἡ καρδία μου τοῖς πάθεσι τρέμει, ἀλλὰ ποθῶν, τελικὴν σωτηρίαν, σὲ

προσκαλοῦμαι καὶ πόθῳ κραυγάζω σοι· κατάσβεσον ἐν δροσισμῷ, τῆς σῆς χάριτος ταύτης τὰ βάσανα.

Ἀκάκιε, νεοσύστατον Πάτερ, ἀδελφόν σε καὶ πατέρα καλοῦμεν· ὅθεν πρὸς σέ, καταφεύγει εἰκότως, καὶ ἡ νεότης πατρίδος σου Ὅσιε, καὶ κράζομέν σοι ἐκτενῶς· ἵνα σκέπῃς ἡμᾶς ὡς πρεσβύτερος.

*Θεοτοκίον.*

Θεόνυμφε, Μητροπάρθενε Κόρη, παρθενίας καθαρότατον ἄνθος, τὰς προσβολὰς ἀκαθάρτων δαιμόνων, ἀποδιώκουσα σκέπε τὰ τέκνα Σου, καὶ δὸς αὐτοῖς τε καὶ ἡμῖν, καθαρώτατον βίον Μητρόθεε.

Διάσωσον, ἐπιβουλῆς ἐναντίας θεόφρον καὶ κακίας πονηρᾶς τῶν δαιμόνων, Ἀκάκιε τοὺς σὲ πόθῳ ὑμνοῦντας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.*

Ἀκακίου τὸν βίον μανθάνοντες, παῤῥησίαν ἀδελφοὶ προσκτησώμεθα, ὥσπερ Μάρτυς καὶ ὁσιότητος καρπός, ἡμῖν προβάλλει ὡς φρουρός, καὶ προστάτης κραταιός, τοῖς ἐν πίστει κραυγάζουσι· σκέπε τοὺς σὲ ὑμνοῦντας, ῥῦε τοὺς ἐν ἀνάγκαις, καὶ τὴν νεότητα καλῶς, ἐκ παγίδων διαφύλαττε.

Προκείμενον: *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέρδος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐτοῦ ἐξανθήσει.*

*Καὶ τὸ Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων, παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσετε πῶς ἤ τι λαλήσετε. Δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τὶ λαλήσετε. Οὐκ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθαι μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Δόξα: *Ταῖς τοῦ Ὁσιοάθλου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ὅλος δι᾽ ἀθλήσεως, ἀνατεθεὶς τῷ Κυρίῳ, στέφος λιθοστόλιστον, ἀρεταῖς προσείληφας ὁσιόαθλε, γυμνασθεὶς ἄριστα, μοναστῶν σκάμμασιν, ἐν τῇ Πόλει ἐκαρτέρησας, φρικτὰ γὰρ βάσανα, φυλακαῖς καὶ κάρας ἀπότμησιν· ὅθεν καὶ κατέχεις, ὡς Μάρτυς παῤῥησίαν πρὸς Χριστόν, καὶ θεραπεύεις νοσήματα, τῶν πιστῶς ὑμνούντων σε.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀκάκιον τὸν θεῖον κατέχοντες ἐν μέσῳ ὡς ἀδελφὸν ἀδελφοί, τιμήσωμεν πρεπόντως, δοξάσωμεν ἐντίμως, καὶ Χριστῷ ἀνακράξωμεν· δέχου Χριστὲ ἐκτενεῖς, τοῦ Μάρτυρος δεήσεις.

Ἀκάκιον τὸν θεῖον τὸν νέον ἐν Ὁσίοις καὶ κραταιὸν Ἀθλητήν, ἰδίας ἡμῶν κώμης, τὸν γόνον καὶ πατέρα, πρὸς Χριστὸν ἀποστείλωμεν, ὡς πρεσβευτὴν ἱκανόν, ἐπιτελεῖν ἰάσεις.

Ἀκάκιε τρισμάκαρ οὐκ ἔχω τὰς δυνάμεις ἵνα ὑμνῶ σε ὀρθῶς, πρεσβύτερος ὑπάρχεις, καὶ Μάρτυς χριστοφόρος, διὰ κάρας ἀφαίρεσιν· δός μοι σοφίαν Πάτερ, καὶ βίου προστασίαν.

*Θεοτοκίον.*

Παρθένε Παναγία τοῦ Ἄθω προστασία μοναστῶν ἡ παράκλησις, τὰ τέκνα τοῦ ἀγροῦ Σου, ὡς ἄνθη καρποφόρα, φυτοκόμησον Δέσποινα, ἵνα πολὺν Σοι καρπόν, προσφέρομεν Κυρία.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Σὲ ἀριστοῦχον, ἀθλητικῶν παλαισμάτων, καὶ ἀγώνων ὁσιότητος Πάτερ, νῦν παρακαλοῦμεν, ἐκ μέσης τῆς καρδίας.

Ὡς ἐπακούσας, τῆς μητρικῆς νουθεσίας, μητρικὰς δεήσεις νῦν παμμάκαρ, δέχου καὶ παράσχου, τοῖς τέκνοις προστασίαν.

Κάραν προσάγεις, θυσιάζων Κυρίῳ, πᾶσαν κίνησιν καὶ νόημα νοός σου, κάθαρον οὖν Πάτερ, κἀμὲ τῶν λογισμῶν μου.

*Θεοτοκίον.*

Θεογεννῆτορ, ἡ τὸν Σωτῆρα τεκοῦσα, καταπράϋνον ὀργὴν ἐπερχομένην, ἔχεις γὰρ ὡς Μήτηρ, πολλὴν τὴν παῤῥησίαν.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἀκάκιε θεόφρον, σπεῦδε ἀπαλύνων, σωματικὰς ἀλγηδόνας τοῖς κάμνουσιν· ἔχεις γὰρ ὡς Μάρτυς, πολλὴν τὴν παῤῥησίαν.

Ἀκάκιε θεόφρον, νεαρὰν ἡλικίαν, ἐπιστήριξον διόρθωσιν παρέχων, αὐτοῖς ἤθους θεοφόρε, ἵνα Χριστὸν δοξάζει.

Ἀκάκιε θεόφρον, ναρκώσεως κακίας, καὶ νοσογόνων φαρμάκων διάσωζε, τοὺς ἀγνοοῦντας θεόφρον, δαίμονος ἔνεδρα.

*Θεοτοκίον.*

Ἀκάκιε θεόφρον, Κυρίας Θεοτόκου, ὡς προσταφεὶς τῇ εἰκόνι ἐκνέκρωσον, τὰς μηχανὰς καὶ ἀλάστορος ἔνεδρα.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ἀσβεστοχωρίου νέος βλαστός, ποτισθεὶς δακρύων, καὶ αἱμάτων σου τοῖς κρουνοῖς, Μάρτυς χριστοφόρος, καὶ ὅσιος ἐφάνης· ὅθεν καὶ σῆς πατρίδος, φρουρὸς ἀκοίμητος.

Κάλλος τῆς νεότητος ἀρνηθείς, πόνοις μετανοίας καὶ τὴν κάραν ἀποτμηθείς, σὺν Χριστῷ ἀγάλλῃ, χορῷ Νεομαρτύρων, μεθ’ ὧν καὶ συγχορεύεις, μάκαρ Ἀκάκιε.

Μάϊος χορεύει πλήρης χαρᾶς, καὶ σοὶ πλέκει στέφος, ἀνθοφόρον ὡς ἀρετάς, σὺ τῆς μετανοίας, καὶ θείου μαρτυρίου, πορφύραν τῷ Κυρίῳ, δίδεις Ἀκάκιε.

Πρὶν ἀθανασίας κλῆσιν λαβών, νῦν τῆς ἀκακίας, ὤφθης τέμενος ἱερόν, πλύνας ἁμαρτίας, ἀρνήσεως θεόφρον, αἱμάτων σου ῥανίσιν, Πάτερ Ἀκάκιε.

Χαίροις μοναζόντων Ἀθωνιτῶν, καύχημα Μαρτύρων, καὶ Ὁσίων ὁ νεογνός, χαίροις νεαζόντων,

παράδειγμα καὶ κλέος, ἡμῶν δὲ πολιοῦχος, χαῖρε Ἀκάκιε.

Ταμεῖον ὑπάρχον τῶν ἀρετῶν, τὸ Ἅγιον Ὄρος, σοὶ ἐδώρησε φυσικῶς, μετάνοιαν Πάτερ καὶ στεφάνους, τοῦ μαρτυρίου καὶ τῆς ὁσιότητος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως*

*Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε, ἐν ἀσβέστῳ χαρμονῇ, Ἀσβεστοχωρίου τὸ γόνον, νῦν περιβάλλωμεν, ᾄσματα προσφέροντες αὐτῷ καὶ λέγοντες· θεοδόξαστε Ὅσιε, Ἀκάκιε Μάρτυς, φύλαττε τοὺς δούλους σου καὶ ἀποκάθαρον, πάσης προσβολῆς καὶ κηλῖδος, πόθῳ τοὺς τὴν θείαν σου μνήμην, ἐκτελοῦντας καὶ προσκαλουμένους σε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

